# E08.09 Aichylos‘ Perser – 2. Stasimon 532-597 [als docx]

**Χορός** *[532]* *an*

Ζεῦ βασιλεῦ, νῦν γὰρ Περσῶν
τῶν μεγαλαύχων καὶ πολυάνδρων
στρατιὰν ὀλέσας
ἄστυ τὸ Σούσων ἠδ᾽ Ἀγβατάνων
πένθει δνοφερῷ κατέκρυψας·
πολλαὶ δ᾽ ἀταλαῖς χερσὶ καλύπτρας
κατερεικόμεναι
διαμυδαλέοις δάκρυσι κόλπους
τέγγουσ᾽, ἄλγους μετέχουσαι.
αἱ δ᾽ ἁβρόγοοι Περσίδες ἀνδρῶν
ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν,
λέκτρων εὐνὰς ἁβροχίτωνας,
χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι,
πενθοῦσι γόοις ἀκορεστοτάτοις.
κἀγὼ δὲ μόρον τῶν οἰχομένων
αἴρω δοκίμως πολυπενθῆ.

| | | | |
|---|---|---|---|
| **Χορός** *[548]* | **Χορός** *[558]* | | |
| νῦν [γὰρ[ δὴ πρόπασα μὲν στένει | πεζούς τε [γὰρ] καὶ θαλασσίους | *2 ia* | |
| γαῖ᾽ Ἀσιὰς ἐκκενουμένα. | λινόπτεροι κυανώπιδες | *2 ia* | |
| Ξέρξης μὲν ἄγαγεν, ποποῖ, | νᾶες μὲν ἄγαγον, ποποῖ, | *2 ia* | |
| Ξέρξης δ᾽ ἀπώλεσεν, τοτοῖ, | νᾶες δ᾽ ἀπώλεσαν, τοτοῖ, | *2 ia* | |
| Ξέρξης δὲ πάντ᾽ ἐπέσπε | νᾶες πανωλέθροισιν | *ia ba* | |
| δυσφρόνως βᾱρίδεσσι ποντίαις. | ἐμβολαῖς, αἵ τ᾽ Ἰᾱόνων χέρες. | *2 cr ia* | |
| τίπτε Δαρεῖος μὲν οὕ- | τυτθὰ δ᾽ ἐκφυγεῖν ἄνακτ᾽ | *cr ia* | |
| τω τότ᾽ ἀβλαβὴς ἐπῆν | αὐτὸν εἰσακούομεν | *cr ia* | |
| τόξαρχος πολιήταις, | Θρῄκης ἂμ πεδιήρεις | *pherecr* | ○○–◡◡–– |
| Σουσίδαις φίλος ἄκτωρ; | δυσχίμους τε κελεύθους. | *pherecr* | |

| | | | |
|---|---|---|---|
| **Χορός** *[568]* | **Χορός** *[576]* | | |
| τοὶ δ᾽ ἄρα πρωτόμοιροι, φεῦ, | γναπτόμενοι δὲ δίνᾳ, φεῦ, | *3 da* | |
| λειφθέντες πρὸς ἀνάγκας, ἠέ, | σκύλλονται πρὸς ἀναύδων, ἠέ, | *3 da, Excl* | |
| ἀκτὰς ἀμφὶ Κυχρείας, ὀᾶ, | παίδων τᾶς ἀμιάντου, ὀᾶ. | *3 da, Excl* | |
| σύρονται· στένε καὶ δακνά- | πενθεῖ δ᾽ ἄνδρα δόμος στερη- | *gl* | ○○–◡◡–◡– |
| ζου, βαρὺ δ᾽ ἀμβόασον | θείς τοκέες τ᾽ ἄπαιδες | *cho ba* | |
| οὐράνι᾽ ἄχη, ὀᾶ· | δαιμόνι᾽ ἄχη, ὀᾶ, | *ia, Excl* | |
| τεῖνε δὲ δυσβάυκτον | δυρόμενοι γέροντες | *cho ba* | |
| βοᾶτιν τάλαιναν αὐδάν. | τὸ πᾶν δὴ κλύουσιν ἄλγος. | *ba ‸ithy* | ◡–– ˈ ◡–◡–– |

| | | | |
|---|---|---|---|
| **Χορός** *[584]* | **Χορός** *[591]* | | |
| τοὶ δ᾽ ἀνὰ γᾶν Ἀσίαν δὴν | οὐδ᾽ ἔτι γλῶσσα βροτοῖσιν | *3 da* | |
| οὐκέτι περσονομοῦνται, | ἐν φυλακαῖς· λέλυται γὰρ | *3 da* | |
| οὐδ᾽ ἔτι δασμοφοροῦσιν | λαὸς ἐλεύθερα βάζειν, | *3 da* | |
| δεσποσύνοισιν ἀνάγκαις, | ὡς ἐλύθη ζυγὸν ἀλκᾶς. | *3 da* | |
| οὐδ᾽ ἐς γᾶν προπίτνοντες | αἱμαχθεῖσα δ᾽ ἄρουραν | *3 da* | |
| ἅζονται· βασιλεία | Αἴαντος περικλύστα | *3 da* | |
| γὰρ διόλωλεν ἰσχύς. | νᾶσος ἔχει τὰ Περσᾶν. | *cho ba* | |